πότερον τόξου ῥῦμα τὸ νικῶν,
ἢ δορυκράνου
λόγχης ἰσχὺς κεκράτηκεν.
ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς
φάος ὁρμᾶται μήτηρ βασιλέως,
βασίλεια δ' ἐμή, προσπίτνω·
καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν
πάντας μύθοισι προσαυδᾶν.

ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη,
μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε, Δαρείου γύναι·
θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς,
εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ.

ΑΤΟΣΣΑ

ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους,
καὶ τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐναστήριον,
καί με καρδίαν ἀμύσσει φροντίς· ἐς δ' ὑμᾶς ἐρῶ
μῦθον, οὐδαμῶς ἐμαυτῆς οὖσ' ἀδείμαντος, φίλοι,
μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ
ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινός.
ταῦτά μοι διπλῆ μέριμνα φραστός ἐστιν ἐν φρεσίν,
μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν,
μήτ' ἀχρημάτοισι λάμπειν φῶς ὅσον σθένος πάρα.
ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος·

152. προπίτνω, *προπίτνω*

---

ἰθαγενής. **148.** δορυκράνου] τῆς ἀπὸ ξύλου κρανείας. **151.** Ἄτοσσα, θυγάτηρ Κύρου, γυνὴ Δαρείου, μήτηρ Ξέρξου κατὰ Ἡρόδοτον (3, 68). **153.** προσφθόγγοις] προσηγορικοῖς. **157.** θεοῦ] τοὺς βασιλεῖς θεοὺς καλοῦσιν οἱ Πέρσαι. **158.** δαίμων παλαιός] ἡ εὐδαιμονία. **159.** ταῦτα] διὰ ταῦτα. **163.** κονισθείς, ἢ κονίσας αὐτὸς τὸ οὖδας. **165.** ταῦτα] διὰ ταῦτα. **166.** χρημάτων ἀνάνδρων] χωρὶς γὰρ ἀνδρῶν ἄχρηστά ἐστι τὰ χρήματα. **167.** μήτ' ἀχρημάτοισι: μήτε τοὺς πένητας πᾶν σθένος ὁρᾶν τοῦ φωτός· ὅ ἐστιν, οὐ πάσης ἀπο-